M N E T

Factus est repente de celo sonus aduenientis
spc uehementis ubi erant sedentes [illegible] et re-
pleti sunt oes spu sco loquentes magnalia dei
alla. alla. Coll. Sancti spc do-
mine corda nra mundet infusio:
et sui roris intima aspersione fe-
cundet. Per. Ev. In aduentu dni.

Rorate celi desup. [illegible] Coll.

Deus qui de beate marie vir-
ginis utero verbum tuum ange-
lo nunciante carnem suscipere
voluisti: presta supplicibus tuis ut
qui vere eam genetricem dei cre-
dimus. eius apud te intercessio-
nibus adiuvemur. Per. [illegible]
[illegible] folio. De sca cruce.

Nos autem gloriari oportet [illegible]

1650

EX BIBLIOTH.
NATIONIS HUNGAR.
VITEBERG.
III A 261
SIGNAT. cIↄIↄCCCXIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-621128-p0002-0

# HOMERI ODYSSEÆ.

## LIBER PRIMUS, SECUNDUS & TERTIUS.

*In*

Magdæburgensis Scholæ usum seorsim excusus.

MAGDÆBURGI,

Excudebat Andreas Bezelius, sumtibus Johan: Franci Bibliopo.

ANNO M. DC. X.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-621128-p0003-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-621128-p0004-1

# ΟΔΥΣΣΕΙΑΣ ΟΜΗΡΟΥ, Η ἄλφα ῥαψῳδία.

Ἄλφα, θεῶν ἀγορή, ὀδυσσῆϊ παλλάδι θάρσος.

ΑΝΔΡΑ μοι ἔννεπε μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ τροίης ἱερὸν πτολίεθρον ἔπερσε
Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω.
Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων·
Ἀλλ' οὐδ' ὧς ἑτάρους ἐῤῥύσατο ἱέμενός περ.
Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,
Νήπιοι, οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο.
Ἤσθιον. αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
Τῶν ἁμόθεν γε θεὰ θύγατερ διὸς εἰπὲ καὶ ἡμῖν.

Ἔνθ' ἄλλοι μὲν πάντες ὅσοι φύγον αἰπὺν ὄλεθρον,
Οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν.
Τὸν δ' οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς,
Νύμφη πότνι' ἔρυκε καλυψὼ δῖα θεάων
Ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
Ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
Τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
Εἰς ἰθάκην, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων,
Καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι ποσειδάωνος. ὁ δ' ἀσπερχὲς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆϊ, πάρος ἣν γαῖαν ἱκέσθαι.
Ἀλλ' ὁ μὲν αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
(Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος,)
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

Ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος. οἱ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν ὀλυμπίου ἀθρόοι ἦσαν.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο.
Τόν ῥ' ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν' Ὀρέστης·
Τοῦ ὅγ' ἐπιμνησθείς, ἔπε' ἀθανάτοισι μετηύδα,
Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.
Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.
Ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον ἀτρείδαο
Γῆμ' ἄλοχον μνηστὴν, τὸν δ' ἔκτανε νοστήσαντα,
Εἰδὼς αἰπὺν ὄλεθρον. ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες ἐΰσκοπον ἀργειφόντην,
Μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν,
Ἐκ γὰρ Ὀρέσταο τίσις ἔσεται ἀτρείδαο.
Ἐκ γὰρ ὀρέσταο τίσις [illegible] ἀτρείδαο

Ὁππότ'

Οππότ' ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
Ως ἔφαθ' ἑρμείας. ἀλλ' οὐ φρένας αἰγίσθοιο
Πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἀθρόα πάντ' ἀπέτισε.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις ἀθήνη,
Ω πάτερ ἡμέτερε κρονίδη, ὕπατε κρειόντων,
Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
Ως ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.
Αλλά μοι ἀμφ' ὀδυσῆι δαΐφρονι δαίεται ἦτορ
Δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει,
Νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης,
Νῆσος δενδρήεσσα· θεὰ δ' ἐν δώμασι ναίει
Ατλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
Πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι.
Τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει·

Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Θέλγει, ὅπως ἰθάκης ἐπιλήσεται. αὐτὰρ ὀδυσσεὺς
Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
Ης γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ
Εντρέπεται φίλον ἦτορ ὀλύμπιε. οὔ νύ τ' ὀδυσσεὺς
Αργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο ζεῦ;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα ζεύς,
Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Πῶς ἂν ἔπειτ' ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;
Ος περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
Αθανάτοισιν ἔδωκε τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
Αλλὰ ποσειδάων γαιήοχος ἀσκελὲς αἰὲν
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,
Αντίθεον πολύφημον, ὅου κράτος ἐστὶ μέγιστον

Πᾶσι κυκλώπεσι, θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος,
Ἐν σπέεσι γλαφυροῖσι ποσειδάωνι μιγεῖσα.
Ἐκ τοῦ δὴ ὀδυσῆα ποσειδάων ἐνοσίχθων
Οὔτι κατακτείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης.
Ἀλλ' ἄγεθ', ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
Νόστον, ὅπως ἔλθῃσι, ποσειδάων δὲ μεθήσει
Ὃν χόλον. οὐ μὲν γὰρ τι δυνήσεται ἀντία πάντων
Ἀθανάτων, ἀέκητι θεῶν ἐριδαινέμεν οἶος.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις ἀθήνη,
Ὦ πάτερ ἡμέτερε κρονίδη, ὕπατε κρειόντων,
Εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,
Νοστῆσαι ὀδυσῆα δαίφρονα ὅνδε δόμονδε,
Ἑρμείαν μὲν ἔπειτα διάκτορον ἀργειφόντην
Νῆσον ἐς ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
Νύμφῃ ἐϋπλοκάμῳ εἴπῃ νημερτέα βουλήν,

Νόστον

Νόστον ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται.
Αὐτὰρ ἐγὼν ἰθάκην δ' ἐσελεύσομαι, ὄφρά οἱ υἱὸν,
Μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω,
Εἰς ἀγορὴν καλέσαντα καρηκομόωντας ἀχαιοὺς,
Πᾶσι μνηστήρεσσιν ἀπειπέμεν οἵ τέ οἱ αἰεὶ
Μῆλ' ἀδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς.
Πέμψω δ' ἐς σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
Νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ.
Η δ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.
Ως εἰποῦσ', ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
Αμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ηδ' επ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
Βριθὺ, μέγα, στιβαρὸν τῷ δάμνησι στίχας ἀνδρῶν
Ηρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.

Βῆ δὲ κατ' οὐλύμποιο καρήνων ἀΐξασα·
Στῆ δ' ἰθάκης ἐνὶ δήμῳ, ἐπὶ προθύροις ὀδυσῆος,
Οὐδοῦ ἐπ' αὐλείου· παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
Εἰδομένη ξείνῳ ταφίων ἡγήτορι μέντῃ,
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας, οἱ μὲν ἔπειτα
Πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον,
Ημενοι ἐν ῥινοῖσι βοῶν οὓς ἔκτανον αὐτοί.
Κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες,
Οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
Οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
Νίζον, καὶ πρότιθεντο, ἰδὲ κρέα πολλὰ δατεῦντο.
Τὴν δὲ πολὺ πρῶτος ἴδε τηλέμαχος θεοειδής·
Ηστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
Οσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶν, εἴποθεν ἐλθὼν
Μνηστήρων τῶν μὲν σκέδασιν κατὰ δώματα θείη,

Τιμὴν

Τιμὴν δ' αὐτὸς ἔχοι, καὶ κτήμασιν οἷσιν ἀνάσσοι.
Τὰ φρονέων, μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην·
Βῆ δ' ἰθὺς προθύροιο, νεμεσσήθη δ' ἐνὶ θυμῷ
Ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν. ἐγγύθι δὲ στὰς
Χεῖρ' ἕλε δεξιτερὴν, καὶ ἐδέξατο χάλκεον ἔγχος.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Χαῖρε ξεῖνε· παρ' ἄμμι φιλήσεαι, αὐτὰρ ἔπειτα
Δείπνου πασσάμενος μυθήσεαι ὅττεό σε χρή.
Ως εἰπὼν ἡγεῖθ', ἡ δ' ἕσπετο Παλλὰς Ἀθήνη·
Οἱ δ' ὅτε δή ῥ' ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
Εγχος μὲν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
Δουροδόκης ἔντοσθεν ἐΰξόου, ἔνθά περ ἄλλα
Εγχε' ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά.
Αὐτὴν δ' ἐς θρόνον εἷσεν ἄγων, ὑπὸ λῖτα πετάσσας
Καλὸν, δαιδάλεον, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.

Πὰρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων
Μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὀρυμαγδῷ,
Δείπνῳ ἀδήσειεν, ὑπερφιάλοισι μετελθὼν,
Ἠδ' ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσε τράπεζαν,
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων,
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.
Παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα.
Κῆρυξ δ' αὐτοῖσι θάμ' ἐπῴχετ' οἰνοχοεύων.
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες οἱ μὲν ἔπειτα
Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,

Σῖτον

Σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισιν,
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο
Μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει.
Μολπή τ' ὀρχηστύς τε. (τὰ γάρ τ' ἀναθήματα δαιτός)
Κῆρυξ δ' ἐν χερσὶ κίθαριν περικαλλέα θῆκε
Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.
Ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν·
Αὐτὰρ τηλέμαχος προσέφη γλαυκῶπιν ἀθήνην,
Ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι,
Ξεῖνε φίλ', εἰ καί μοι νεμεσήσεαι ὅ, τί κεν εἴπω;
Τούτοισι μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή.
Ῥεῖ' ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν
Ἀνέρος, οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ,

Κείμεν'

Κείμεν' ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει·
Εἰ κεῖνόν γ' ἰθάκην δε ἰδοίατο νοστήσαντα,
Πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι
Η ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε.
Νῦν δ' ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέτις ἡμῖν
Θαλπωρὴ, εἴπερ τις ἐπιχθονίων ἀνθρώπων
Φησὶν ἐλεύσεσθαι. τοῦ δ' ὤλετο νόστιμον ἦμαρ.
Αλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Οπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ηγαγον εἰς ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;
Οὐ μὲν γάρ τι σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι·
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐῢ εἰδῶ
Ηὲ νέον μεθέπεις, ἢ καὶ πατρώϊος ἐσσι
Ξεῖνος ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ

Ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις ἀθήνη,
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω
Μέντης ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
Υἱὸς, ἀτὰρ ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
Νῦν δ᾽ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ᾽ ἑτάροισι,
Πλέων οἴνοπα πόντον ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους,
Ἐς τεμέσην μετὰ χαλκόν· ἄγω δ᾽ αἴθωνα σίδηρον
Νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος,
Ἐν λιμένι ῥείθρῳ, ὑπὸ νηΐῳ ὑλήεντι.
Ξεῖνοι δ᾽ ἀλλήλων πατρώϊοι εὐχόμεθ᾽ εἶναι
Ἐξ ἀρχῆς, εἴπέρ τε γέροντ᾽ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα· τὸν οὐκέτι φασὶ πόλινδε
Ἔρχεσθ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐπ᾽ ἀγροῦ πήματα πάσχει
Γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε

Παρτιθεῖ,

Παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσι,
Ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
Νῦν δ' ἦλθον. δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι
Σὸν πατέρ'· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος ὀδυσσεύς,
Ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρεϊ πόντῳ,
Νήσῳ ἐν ἀμφιρύτῃ· χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν
Ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
Αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω,
Οὔτε τι μάντις ἐών, οὔτ' οἰωνῶν σάφα εἰδώς·
Οὔτι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
Ἔσσεται, οὐδ' εἴπερ τε σιδήρεα δέσματ' ἔχῃσι·
Φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,

Εἰ δὴ

Εἰ δὴ ἐξ αὐτοῖο τόσος πάϊς εἰς ὀδυσῆος
Αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
Κείνῳ· ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισι
Πρίν γε τὸν ἐς τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Αργείων οἱ ἄριστοι ἔβαν κοίλης ἐνὶ νηυσίν.
Εκ τοῦδ' οὔτ' ὀδυσῆα ἐγὼν ἴδον, οὔτ' ἐμὲ κεῖνος.

Τὴν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοί γὰρ ἐγώ τοι ξεῖνε μάλ' ἀτρεκέως ἀγορεύσω,
Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι· αὐτὰρ ἔγωγε
Οὐκ οἶδ'· οὐ γάρ πω τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
Ως δὴ ἔγωγ' ὄφελον μάκαρος νύ τευ ἔμμεναι υἱὸς
Ανέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε.
Νῦν δ' ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων.
Τοῦ μ' ἔκ φασι γενέσθαι. ἐπεὶ σύ με τοῦτ' ἐρεείνεις.

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις ἀθήνη,

Οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμον ὀπίσσω
Θῆκαν· ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Τίς δαίς, τίς δ' ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
Εἰλαπίν' ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.
Ὥς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
Δαίνυσθαι κατὰ δῶμα. νεμεσσήσαιτό κεν ἀνὴρ
Αἴσχεα πόλλ' ὁρόων, ὅστις πινυτός γε μετέλθοι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων
Ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν·
Νῦν δ' ἑτέρως ἐβάλοντο θεοί, κακὰ μητιόωντες,
Οἳ κεῖνον μὲν ἄϊστον ἐποίησαν περὶ πάντων
Ἀνθρώπων· ἐπεὶ οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην,

Εἰ μετ' οἷς ἑτάροισι δάμη τρώων ἐνὶ δήμῳ,
Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε·
Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν πανάχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω·
Νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο·
Οἴχετ' ἄϊστος, ἄπυστος, ἐμοὶ δ' ὀδύνας τε γόους τε
Κάλλιπεν. οὐδ' ἔτι κεῖνον ὀδυρόμενος στεναχίζω
Οἶον, ἐπεὶ νύ μοι ἄλλα θεοὶ κακὰ κήδε' ἔτευξαν.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε σάμῃ τε καὶ ὑλήεντι ζακύνθῳ,
Ἠδ' ὅσσοι κραναὴν ἰθάκην κατακοιρανέουσι,
Τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
Ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
Οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.

Τὸν δ' ἐπαλαστήσασα προσηύδα παλλὰς ἀθήνη.
Ω πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου ὀδυσῆος
Δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη
Εἰ γὰρ νῦν ἐλθὼν, δόμου ἐν πρώτῃσι θύρῃσι
Σταίη. ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
Τοῖος ἐὼν οἷόν μιν ἐγὼ τὰ πρῶτ' ἐνόησα
Οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
Εξ ἐφύρης ἀνιόντα παρ' ἴλου μερμερίδαο,
(Ωχετε γὰρ κἀκεῖσε θοῆς ἐπὶ νηὸς ὀδυσσεύς,
Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
Ιοὺς χρίεσθαι χαλκήρεας ἀλλ' ὁ μὲν οὔ οἱ
Δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας.
Αλλὰ πατήρ οἱ δῶκεν ἐμός. φιλέεσκε γὰρ αἰνῶς )
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν ὀδυσσεύς,
Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.

Ἀλλ᾽ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
Ἤ κεν νοστήσας ἀποτίσεται, ἦε καὶ οὐκὶ,
Οἷσιν ἐνὶ μεγάροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
Ὅππως κεν μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο,
Εἰ δ᾽ ἄγε νῦν ξυνίει, καὶ ἐμῶν ἐμπάζεο μύθων,
Αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας ἀχαιοὺς,
Μῦθον πέφραδε πᾶσι, θεοὶ δ᾽ ἐπιμάρτυροι ἔστων·
Μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι·
Μητέρα δ᾽ εἰ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
Ἄψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο.
Οἱ δὲ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἔεδνα.
Πολλὰ μάλ᾽, ὅσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
Σοὶ δ᾽ αὐτῷ πυκινῶς ὑποθήσομαι αἴκε πίθηαι,
Νῆ᾽ ἄρσας ἐρέτῃσιν ἐείκοσιν ἥτις ἀρίστη,
Ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο,

Ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
Ἐκ διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
Πρῶτα μὲν ἐς πύλον ἐλθὲ, καὶ εἴρεο νέστορα δῖον·
Κεῖθεν δ' ἐς σπάρτηνδε παρὰ ξανθὸν μενέλαον·
Ὃς γὰρ δεύτατος ἦλθεν ἀχαιῶν χαλκοχιτώνων.
Εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
Ἤ τ' ἂν τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτόν·
Εἰ δέ κε τεθνειῶτος ἀκούσῃς, μηδ' ἔτ' ἐόντος,
Νοστήσας δ' ἤπειτα φίλην ἐς πατρίδα γαῖαν,
Σῆμά τέ οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι
Πολλὰ μάλ', ὅσσα ἔοικε· καὶ ἀνέρι μητέρα δοῦναι.
Αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
Φράζεσθαι δ' ἤπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὅππως κεν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
Κτεινῃς
Κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδόν. οὐδέ τί σε χρὴ

Νηπιάας

Νηπιάας ὀχέειν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.
οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα
Αἴγισθον δολόμητιν, ὅς οἱ πατέρα κλυτὸν ἔκτα;
Καὶ σὺ φίλος (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη,
Ἠδ' ἑτάρους, οἵ που με μάλ' ἀσχαλόωσι μένοντες.
Σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ξεῖν' ἤτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
Ὥστε πατὴρ ᾧ παιδί, καὶ οὔποτε λήσομαι αὐτῶν·
Ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,
Ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
Δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,

Τιμῆεν, μάλα καλόν, ὅ τοι κειμήλιον ἔσται
Ἐξ ἐμεῦ, οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις ἀθήνη·
Νή μ' ἔτι νῦν κατέρυκε, λιλαιόμενόν περ ὁδοῖο·
Δῶρον δ' ὅ, ττι κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγῃ,
Αὖθις ἀνερχομένῳ δόμεναι οἶκόνδε φέρεσθαι,
Καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς.
Η μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις ἀθήνη,
Ορνις δ' ὣς ἀνόπαια διέπτατο· τῷ δ' ἐνὶ θυμῷ,
Θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τε ἑ πατρὸς
Μᾶλλον ἔτ' ἢ τὸ πάροιθεν. ὁ δέ, φρεσὶν ᾗσι νοήσας,
Θάμβησεν κατὰ θυμόν· ὀΐσατο γὰρ θεὸν εἶναι.
Αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς·
Τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτὸς, οἱ δὲ σιωπῇ
Εἵατ' ἀκούοντες· ὁ δ' ἀχαιῶν νόστον ἄειδε

Λυγρὸν,

Λυγρὸν, ὃν ἐκ τροίης ἐπετείλατο παλλὰς ἀθήνη.
Τοῦ δ' ὑπερωϊόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
Κούρη ἰκαρίοιο περίφρων πηνελόπεια.
Κλίμακα δ' ὑψηλὴν κατεβήσατ' οἷο δόμοιο,
Οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.
Ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Αντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη·
Δακρύσασα δ' ἔπειτα προσηύδα θεῖον ἀοιδὸν,
Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοὶ,
Τῶν ἕν γέ σφιν ἄειδε παρήμενος. οἱ δὲ σιωπῇ
Οἶνον πινόντων. ταύτης δ' ἀποπαύε' ἀοιδῆς
Λυγρῆς, ἥτέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ

 Τείρει

Τείρει ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
Τοίην γὰρ κεφαλὴν ποθέω, μεμνημένη αἰεὶ
Ἀνδρὸς τοῦ κλέος εὐρὺ καθ' ἑλλάδα καὶ μέσον ἄργος.
Τὴν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Μῆτερ ἐμή, τί τ' ἄρ' αὖ φθονέεις ἐρίηρον ἀοιδὸν
Τέρπειν ὅππῃ οἱ νόος ὄρνυται; οὔ νύ τ' ἀοιδοὶ
Αἴτιοι, ἀλλά ποθι ζεὺς αἴτιος, ὅστε δίδωσιν
Ἀνδράσιν ἀλφηστῇσιν ὅπως ἐθέλῃσιν ἑκάστῳ.
Τούτῳ δ' οὐ νέμεσις δαναῶν κακὸν οἶτον ἀείδειν.
Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι
Ἡ τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
Σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν.
Οὐ γὰρ ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ.
Ἐν τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο,
Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,

Ιστὸν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Εργον ἐποίχεσθαι· μῦθος δ' ἄνδρεσσι μελήσει
Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.
Η μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
Παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
Ες δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ,
Κλαῖεν ἔπειτ' ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ηδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις ἀθήνη.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι·
Τοῖσι δὲ τηλέμαχος πεπνυμένος ἤρχετο μύθων,
Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες,
Νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
Εστω (ἐπεὶ τόγε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστὶ, θεοῖς ἐναλίγκιος αὐδὴν)

Ἠῶθεν δ' ἀγορήνδε καθεζώμεσθα κιόντες
Πάντες, ἵν' ὑμῖν μῦθον ἀπηλεγέως ἀποείπω,
Ἐξιέναι μεγάρων. ἄλλας δ' ἀλεγύνετε δαῖτας,
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
Εἰ δ' ὕμμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
Ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
Κείρετ', ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
Αἴκέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι,
Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς ἔφατ'. οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε·
Τὸν δ' αὖ Ἀντίνοος προσέφη Εὐπείθεος υἱὸς,
Τηλέμαχ', ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
Ὑψαγόρην τ' ἔμμεναι, καὶ θαρσαλέως ἀγορεύειν,
Μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα κρονίων

Ποιήσειεν

Ποιήσειεν· ὅ τοι γενεῇ πατρώϊόν ἐστιν.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἀντίνο', εἴπέρ μοι καὶ ἀγάσεαι ὅ, τι κεν εἴπω;
Καί κεν τοῦτ' ἐθέλοιμι διός γε διδόντος ἀρέσθαι.
Ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;
Οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν. αἶψά τέ οἱ δῶ
Ἀφνειὸν πέλεται, καὶ τιμηέστερος αὐτός.
Ἀλλ' ἤτοι βασιλῆες ἀχαιῶν εἰσὶ καὶ ἄλλοι
Πολλοὶ ἐν ἀμφιάλῳ ἰθάκῃ, νέοι ἠδὲ παλαιοί,
Τῶν κέν τις τόδ' ἔχῃσιν, ἐπεὶ θάνε δῖος ὀδυσσεύς.
Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο
Καὶ δμώων οὕς μοι λῄσατο δῖος ὀδυσσεύς.
Τὸν δ' αὖ εὐρύμαχος πολύβου παῖς ἀντίον ηὔδα·
Τηλέμαχ', ἤτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Ὅστις ἐν ἀμφιάλῳ ἰθάκῃ βασιλεύσει ἀχαιῶν·

Κτήματα

Κτήματα δ' αὐτὸς ἔχοις, καὶ δώμασιν οἷσιν ἀνάσσοις.
Μὴ γὰρ ὅγ' ἔλθοι ἀνὴρ ὅστις ἀέκοντα βίηφι
Κτήματ' ἀποῤῥαίσει, ἰθάκης ἔτι ναιεταώσης.
Αλλ' ἐθέλω σε φέριστε περὶ ξείνοιο ἔρεσθαι,
Οππόθεν οὗτος ἀνήρ, ποίης δ' ἐξεύχεται εἶναι
Γαίης· ποῦ δὲ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα·
Ηέ τιν' ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
Η ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ' ἱκάνει.
Οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ' ὑπέμεινε
Γνώμεναι· οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῴκει.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ευρύμαχ', ἤτοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο,
Οὔτ' οὖν ἀγγελίης ἔτι πείθομαι, εἴποθεν ἔλθοι,
Οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα μήτηρ
Ες μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.

Ξεῖνος δ' οὗτος ἐμὸς πατρώϊος ἐκ τάφου ἐστί,
Μέντης ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
υἱὸς, ἀτὰρ ταφίοισι φιληρέτμοισιν ἀνάσσει.
Ὡς φάτο τηλέμαχος. φρεσὶ δ' ἀθάνατον θεὸν ἔγνω.
Οἱ δ' εἰς ὀρχηστήν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
Τρεψάμενοι τέρποντο· μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε.
Δὴ τότε κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.
Τηλέμαχος δ' ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
Ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
Ἔνθ' ἔβη εἰς εὐνὴν, πολλὰ φρεσὶ μερμηρίζων;
Τῷ δ' ἄρ' ἅμ' αἰθομένας δαΐδας φέρε κεδνὰ ἰδυῖα
Εὐρύκλει', ὦπος θυγάτηρ πεισηνορίδαο·
Τὴν ποτε λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν
Πρωθήβην ἔτ' ἐοῦσαν, ἐεικοσάβοια δ' ἔδωκεν.

Ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν·
Εὐνῇ δ' οὔποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός·
Ἥ οἱ ἅμ' αἰθομένας δαΐδας φέρε, καί ἑ μάλιστα
Δμωάων φιλέεσκε, καὶ ἔτρεφε τυτθὸν ἐόντα.
Ὤϊξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο·
Ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα·
Καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν·
Ἡ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα,
Πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι.
Βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο· θύρην δ' ἐπέρυσε κορώνῃ
Ἀργυρέῃ, ἐπὶ δὲ κλῆϊ δ' ἐτάνυσσεν ἱμάντι.
Ἔνθ' ὅγε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ,
Βούλευε φρεσὶν ᾗσιν ὁδὸν τὴν πέφραδ' Ἀθήνη.

ΤΕΛΟΣ.

## ΤΗΣ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Η βῆτα ῥαψῳδία.

βῆτ' ἀγορὴν ἔχει, ἤια ξεινὸς, πλοιῶν μετ' ἀθάνας.

ΗΜΟΣ δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ὤρνυτ' ἄρ' ἐξ εὐνῆφιν ὀδυσσῆος φίλος υἱὸς,
Εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ.
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
Αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
Κηρύσσειν, ἀγορὴν δὲ καρηκομόωντας ἀχαιούς.
Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Βῆ ῥ' ἴμεν εἰς ἀγορὴν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος

Οὐκ οἶος, ἅμα τῷγε δύω κύνες ἀργοὶ ἕποντο·
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν ἀθήνη,
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Εζετο δ' ἐν πατρὸς θώκῳ, εἶξαν δὲ γέροντες,
Τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν.
Ος δὴ γήραϊ κυφὸς ἔην, καὶ μυρία ᾔδη.
Καὶ γὰρ τοῦ φίλος υἱὸς ἅμ' ἀντιθέῳ ὀδυσῆϊ
Ιλιον εἰς εὔπωλον ἔβη κοίλῃς ἐνὶ νηυσίν,
Αντιφος αἰχμητής· τὸν δ' ἄγριος ἔκτανε κύκλωψ
Εν σπῆϊ γλαφυρῷ, πύματον δ' ὡπλίσατο δόρπον.
Τρεῖς δέ οἱ ἄλλοι ἔσαν, καὶ ὁ μὲν μνηστῆρσιν ὁμίλει
Εὐρύνομος, δύο δ' αἰὲν ἔχον πατρώϊα ἔργα·
Αλλ' οὐδ' ὣς τοῦ λήθετ' ὀδυρόμενος καὶ ἀχεύων.
Τοῖς ὅγε δακρυχέων ἀγορήσατο καὶ μετέειπεν·

Κέκλυτε δὴ νῦν μευ ἰθακήσιοι ὅ, τι κεν εἴπω·
Οὐδὲ ποθ' ἡμετέρη ἀγορὴ γένετ' οὔτε θόωκος,
Εξ οὗ ὀδυσσεὺς δῖος ἔβη κοίλης ἐνὶ νηυσί·
Νῦν δὲ τίς ὧδ' ἤγειρε; τίνα χρειὼ τόσον ἵκει;
Ηὲ νέων ἀνδρῶν, ἢ οἳ προγενέστεροί εἰσιν;
Ηέ τιν' ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο,
Ην χ' ἡμῖν σάφα εἴποι ὅτε πρότερός γε πύθοιτο;
Ηέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ' ἀγορεύει;
Εσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος· εἴθε οἱ αὐτῷ
Ζεὺς ἀγαθὸν τελέσειεν ὅ, τι φρεσὶν οἷσι μενοινᾷ.
Ως φάτο. χαῖρε δὲ φήμῃ ὀδυσσῆος φίλος υἱός,
Οὐδ' ἄρ ἔτι δὴν ἧστο, μενοίνησεν δ' ἀγορεύειν·
Στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ
Κῆρυξ πεισήνωρ πεπνυμένα μήδεα εἰδώς.
Πρῶτον ἔπειτα γέροντα καθαπτόμενος προσέειπεν.

Ω γέρον, οὐχ ἑκὰς οὗτος ἀνὴρ (τάχα δ' εἴσεαι αὐτὸς)
Ος λαὸν ἤγειρα· μάλιστα δέ μ' ἄλγος ἱκάνει·
Οὔτε τιν' ἀγγελίην στρατοῦ ἔκλυον ἐρχομένοιο,
Ην χ' ὑμῖν σάφα εἴπω, ὅτε πρότερός γε πυθοίμην,
Οὔτε τι δήμιον ἄλλο πιφαύσκομαι οὐδ' ἀγορεύω·
Αλλ' ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ,
Δοιά, τὸ μὲν, πατέρ' ἐσθλὸν ἀπώλεσα, ὅς ποτ' ἐν ἡμῖν
Τοῖσδεσσιν βασίλευε, πατὴρ δ' ὡς ἤπιος ἦεν.
Νῦν δ' αὖ καὶ πολὺ μεῖζον, ὃ δὴ τάχα οἶκον ἅπαντα
Πάγχυ διαρραίσει, βίοτον δ' ἀπὸ πάμπαν ὀλέσσει·
Μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ,
Τῶν ἀνδρῶν φίλοι υἷες οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι.
Οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι
Ικαρίου, ὡς κ' αὐτὸς ἐεδνώσαιτο θύγατρα,
Δοίη δ' ᾧ κ' ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι·

Οἳ δ'

Οἳ δ' εἰς ἡμέτερον πωλεύμενοι, ἤματα πάντα,
Βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
Εἰλαπινάζουσι, πίνουσί τε αἴθοπα οἶνον
Μαψιδίως. τὰ δὲ πολλὰ κατάνεται. οὐ γὰρ ἔπ' ἀνὴρ
Οἷος ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι·
Ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεν. ἦ καὶ ἔπειτα
Λευγαλέοι τ' ἐσόμεσθα, καὶ οὐ δεδαηκότες ἀλκήν.
Ἦ τ' ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη.
Οὐ γὰρ ἔτ' ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ' ἔτι καλῶς
Οἶκος ἐμὸς διόλωλε. νεμεσσήθητε καὶ αὐτοί,
Ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους,
Οἳ περιναιετάουσι· θεῶν δ' ὑποδείσατε μῆνιν.
Μή τι μεταστρέψωσιν ἀγασσάμενοι κακὰ ἔργα.
Λίσσομαι ἠμὲν ζηνὸς ὀλυμπίου ἠδὲ θέμιστος,
Ἥ τ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει,

Ἴσχεσθε φίλοι, καὶ μ' οἶον ἐάσατε πένθεϊ λυγρῷ
Τείρεσθ', εἰ μήπου τι πατὴρ ἐμὸς ἐσθλὸς ὀδυσσεὺς
Δυσμενέων κάκ' ἔρεξεν ἐϋκνήμιδας ἀχαιούς·
Τῶν μ' ἀποτινύμενοι κακὰ ῥέζετε δυσμενέοντες,
Τούτους ὀτρύνοντες· ἐμοὶ δέ κε κέρδιον εἴη
Ὑμέας ἐσθέμεναι κειμήλιά τε, πρόβασίν τε·
Εἴ χ' ὑμεῖς γε φάγοιτε, τάχ' ἄν ποτε, καὶ τίσις εἴη.
Τόφρα γὰρ ἂν κατ' ἄστυ ποτιπτυσσοίμεθα μύθῳ,
Χρήματ' ἀπαιτίζοντες, ἕως κ' ἀπὸ πάντα δοθείη.
Νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ.
Ὣς φάτο χωόμενος ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ,
Δάκρυ' ἀναπρήσας. οἶκτος δ' ἕλε λαὸν ἅπαντα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὔτε τις ἔτλη
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν·
Ἀντίνοος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν·

Τηλέ-

Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες,
Ημέας αἰσχύνων, ἐθέλῃς δέ κε μῶμον ἀνάψαι
Σοὶ δ' οὔτι μνηστῆρες ἀχαιῶν αἴτιοί εἰσιν,
Αλλὰ φίλη μήτηρ, ἥ τοι πέρι κέρδεα οἶδεν,
Ηδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον,
Εξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσιν ἀχαιῶν·
Πάντας μέν ῥ' ἔλπει, καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
Αγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ,
Ηδὲ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
Στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν, ὕφαινε,
Λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν,
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος ὀδυσσεύς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
Εκτελέσω, (μή μοι μεταμώλια νήματ' ὄληται)
Λαέρτῃ, ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν

Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
Μήτις μοι κατὰ δῆμον ἀχαιϊάδων νεμεσήσῃ,
Αἴκεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.
Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτε πεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκε μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο.
Ὣς τρίετες μὲν ἔληθε δόλῳ, καὶ ἔπειθεν ἀχαιούς·
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
Καὶ τὴν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
Ὣς τὸ μὲν ἐξετέλεσσε, καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.
Σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν' εἰδῇς
Αὐτὸς σῷ θυμῷ, εἰδῶσι δὲ πάντες ἀχαιοί.
Μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι,
Τῷ ὅτεῳ τε πατὴρ κέλεται, καὶ ἁνδάνει αὐτῇ,

Εἰ δ'

Εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας ἀχαιῶν,
Τὰ φρονέουσ' ἀνὰ θυμὸν, ἅ οἱ πέρι δῶκεν ἀθήνη,
Ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλὰς,
Κέρδεά θ' οἷ' οὔπω τίν' ἀκούομεν οὐδὲ παλαιῶν,
Τάων αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες ἀχαιαὶ,
Τυρώ τ', ἀλκμήνη τε, ἐϋπλοκαμός τε μυκήνη·
Τάων οὔτις ὁμοῖα νοήματα πηνελοπείῃ
Ἤδη. ἀτὰρ μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησεν.
Τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήματ' ἔδονται,
Ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον ὅντινα οἱ νῦν
Ἐν στήθεσι τιθεῖσι θεοί μέγα μὲν κλέος αὐτῇ
Ποιεῖτ', αὐτὰρ σοί γε ποθὴν πολέος βιότοιο.
Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτέ πη ἄλλῃ,
Πρίν γ' αὐτὴν γήμασθαι ἀχαιῶν ᾧ κ' ἐθέλῃσιν.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,

Ἀντίνο', οὔπως ἐστὶ δόμων ἀέκουσαν ἀπῶσαι
Ἥ μ' ἔτεχ', ἥ μ' ἔθρεψε· πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης
Ζώει ὅγ' ἢ τέθνηκε. κακὸν δέ με πόλλ' ἀποτίνειν
Ἰκαρίῳ, αἴκ' αὐτὸς ἐγὼν ἀπὸ μητέρα πέμψω.
Ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
Δώσει· ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ' ἐρινῦς
Οἴκου ἀπερχομένη, νέμεσις δέ μοι ἐξ ἀνθρώπων
Ἔσσεται. ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω.
Ὑμέτερος δ' εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,
Ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας,
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατ' οἴκους·
Εἰ δ' ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
Ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσαι,
Κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
Αἴκέ ποτε Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι·

Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς φάτο τηλέμαχος. τῷ δ' αἰετὼ εὐρύοπα ζεὺς
Ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι.
Τὼ δ' ἕως μέν ῥ' ἐπέτοντο μετὰ πνοιῇς ἀνέμοιο,
Πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσιν·
Ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,
Ἔνθ' ἐπιδινηθέντε τιναξάσθην πτερὰ πολλά,
Ἐς δ' ἰδέτην πάντων κεφαλάς, ὄσσοντο δ' ὄλεθρον·
Δρυψαμένω δ' ὀνύχεσσι παρειὰς, ἀμφί τε δειρὰς,
Δεξιὼ ἤϊξαν διά τ' οἰκία καὶ πόλιν αὐτῶν.
Θάμβησαν δ' ὄρνιθας ἐπεὶ ἴδον ὀφθαλμοῖσιν,
Ὥρμηναν δ' ἀνὰ θυμὸν ἅπερ τελέεσθαι ἔμελλον,
Τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως ἁλιθέρσης,
Μαστορίδης. ὁ γὰρ οἶος ὁμηλικίην ἐκέκαστο,
Ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι,

Οσφιν ἐῢφρονέων ἀγορήσατο καὶ μετέειπε.
Κέκλυτε δὴ νῦν μευ ἰθακήσιοι ὅ, τι κεν εἴπω·
Μνηστῆρσιν δὲ μάλιστα πιφαυσκόμενος τάδε εἴρω,
Τοῖσιν γὰρ μέγα πῆμα κυλίνδεται. οὐ γὰρ ὀδυσσεὺς
Δὴν ἀπάνευθε φίλων ὧν ἔσσεται, ἀλλά που ἤδη
Εγγὺς ἐὼν, τοῖσ δεσσι φόνον καὶ κῆρα φυτεύει
Πάντεσσιν· πολέσιν δὲ καὶ ἄλλοισιν κακὸν ἔσται,
Οἳ νεμόμεσθ' ἰθάκην εὐδείελον. ἀλλὰ πολὺ πρὶν
Φραζώμεσθ' ὥς κεν καταπαύσομεν, οἳ δὲ καὶ αὐτοὶ
Παυέσθων καὶ γάρ σφιν ἄφαρ τόδε λώϊον ἐστίν.
Οὐ γὰρ ἀπείρητος μαντεύομαι, ἀλλ' εὖ εἰδώς·
Καὶ γὰρ ἐκείνῳ φημὶ τελευτηθῆναι ἅπαντα,
Ως οἱ, ἐμυθεόμην ὅτε ἴλιον εἰσανέβαινον
Αργεῖοι, μετὰ δέ σφιν ἔβη πολύμητις ὀδυσσεύς. (ρους,
Φῆν κακὰ πολλὰ παθόντ', ὀλέσαντ' ἀπὸ πάντας ἑταί-

Αγνω-

Αγνωςον πάντεσιν ἐεικοςῷ ἐνιαυτῷ
Οἴκαδ' ἐλεύσεσθαι· τάδε δὴ νῦν πάντα τελεῖται.
Τὸν δ' αὖτ' εὐρύμαχος πολύβου πάϊς ἀντίον ηὔδα.
Ω γέρον, εἰ δ' ἄγε νῦν μαντεύεο σοῖσι τέκεσιν,
Οἴκαδ' ἰὼν, μήπου τι κακὸν πάσχωσιν ὀπίσω·
Ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι.
Ορνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο
Φοιτῶσ', οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ ὀδυσσεὺς
Ωλετο τῆλ'· ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνῳ
Ωφελες· οὐκ ἂν τόσα θεοπροπέων ἀγόρευες,
Οὐδέ κε τηλέμαχον κεχολωμένον ὧδ' ἀνιείης,
Σῷ οἴκῳ δῶρον ποτιδέγμενος αἴκε πόρῃσιν·
Αλλ' ἔκ τοι ἐρέω, τόδε καὶ τετελεσμένον ἔσται,
Αἴκε νεώτερον ἄνδρα, παλαιά τε πολλά τε εἰδὼς,
Παρφάμενος ἐπέεσιν ἐποτρύνῃς χαλεπαίνειν,

Αὐτῷ

Αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσαι,
Πρῆξαι δ' ἔμπης οὔτι δυνήσεται εἵνεκα τῶνδε,
Σοὶ δὲ γέρον θωὴν ἐπιθήσομεν ἥν κ' ἐνὶ θυμῷ
Τίνων ἀσχάλλῃς· χαλεπὸν δέ τοι ἔσσεται ἄλγος.
Τηλεμάχῳ δ' ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτὸς,
Μητέρα ἣν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι,
Οἱ δὲ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἔεδνα
Πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
Οὐ γὰρ πρὶν παύσεσθαι ὀίομαι υἷας ἀχαιῶν
Μνηστύος ἀργαλέης· ἐπεὶ οὔτινα δείδιμεν ἔμπης,
Οὔτ' οὖν τηλέμαχον μάλα περ πολύμυθον ἐόντα
Οὔτε θεοπροπίης ἐμπαζόμεθ' ἣν σὺ γεραιὲ
Μυθέαι ἀκράαντον, ἀπεχθάνεαι δ' ἔτι μᾶλλον.
Χρήματα δ' αὖτε κακῶς βεβρώσεται, οὐδέποτ' ἶσα
Ἔσσεται, ὄφρά κεν ἥγε διατρίβῃσιν ἀχαιοὺς

Ου γά-

Ὃν γάμον. ἡμεῖς δ' αὖ ποτιδέγμενοι ἤματα πάντα,
Εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ' ἄλλας
Ἐρχόμεθ' ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Εὐρύμαχ', ἠδὲ καὶ ἄλλοι ὅσοι μνηστῆρες ἀγαυοί,
Ταῦτα μὲν οὐχ' ὑμέας ἔτι λίσσομαι, οὐδ' ἀγορεύω·
Ηδη γὰρ τά γ' ἴσασι θεοί καὶ πάντες ἀχαιοί.
Αλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
Οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον.
Εἶμι γὰρ ἐς σπάρτην τε καὶ ἐς πύλον ἠμαθόεντα,
Νόστον πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
Ην τίς μοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσω
Εκ διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
Εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω,
Ητ' ἂν τρυχόμενός περ ἔτι τλαίην ἐνιαυτόν·

Εἰ δὲ

Εἰ δέ κε τεθνειῶτος ἀκούσω μηδ' ἔτ' ἐόντος,
Νοστήσας δ' ἤπειτα φίλην ἐς πατρίδα γαῖαν,
Σῆμά τε οἱ χεύσω, καὶ ἐπὶ κτέρεα κτερείξω
Πολλὰ μάλ' ὅσσα ἔοικε· καὶ ἀνέρι μητέρα δώσω.
Ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετ'· τοῖσι δ' ἀνέστη
Μέντωρ, ὅς ῥ' ὀδυσσῆος ἀμύμονος ἦεν ἑταῖρος,
Καί οἱ ἰὼν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα,
Πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν.
Ὅσφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε.
Κέκλυτε δὴ νῦν μευ ἰθακήσιοι ὅ, τι κεν εἴπω.
Μήτις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
Σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς.
Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι.
Ὡς οὔτις μέμνηται ὀδυσσῆος θείοιο
Λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν.

Ἀλλ᾽ ἤτοι μνηστῆρας ἀγήνορας οὔτι μεγαίρω
Ἔρδειν ἔργα βίαια, κακοῤῥαφίῃσι νόοιο·
Σφὰς γὰρ παρθέμενοι κεφαλὰς, κατέδουσι βιαίως
Οἶκον ὀδυσσῆος, τὸν δ᾽ οὐκ ἔτι φασὶ νέεσθαι·
Νῦν δ᾽ ἄλλῳ δήμῳ νεμεσίζομαι· οἷον ἅπαντες
Ἧσθ᾽ ἄνεῳ, ἀτὰρ οὔτι καθαπτόμενοι ἐπέεσσιν,
Παύρους μνηστῆρας κατερύκετε πολλοὶ ἐόντες.
Τὸν δ᾽ εὐηνορίδης λειώκριτος ἀντίον ηὔδα,
Μέντορ ἀταρτηρὲ, φρενὰς ἠλεὲ, ποῖον ἔειπες,
Ἡμέας ὀτρύνων καταπαυέμεν; ἀργαλέον δὲ
Ἀνδράσι καὶ πλεόνεσσι μαχήσασθαι περὶ δαιτί.
Εἴπερ γάρ κ᾽ ὀδυσεὺς ἰθακήσιος αὐτὸς ἐπελθὼν
Δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
Ἐξελάσαι μεγάροιο μενοινήσῃ ἐνὶ θυμῷ,
Οὔ κέν οἱ κεχάροιτο γυνὴ, μάλα περ χατέουσα,

Ελθόντ᾽, ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
Εἰ πλεόνεσσι μάχοιτο. σὺ δ᾽ οὐ κατὰ μοῖραν ἔειπες.
Αλλ᾽ ἄγε, λαοὶ μὲν σκίδνασθ᾽ ἐπὶ ἔργα ἕκαστος,
Τούτῳ δ᾽ ὀτρυνέει μέντωρ ὁδὸν ἠδ᾽ Αλιθέρσης,
Οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώϊοί εἰσιν ἑταῖροι.
Αλλ᾽ (ὀΐω) καὶ δηθὰ καθήμενος, ἀγγελιάων
Πεύσεται εἰν ἰθάκῃ, τελέει δ᾽ ὁδὸν οὔποτε ταύτην.
Ως ἄρ ἐφώνησεν· λῦσεν δ᾽ ἀγορὴν αἰψηρήν.
Οἱ μὲν ἄρ ἐσκίδναντο ἑὰ πρὸς δώμαθ᾽ ἕκαστος·
Μνηστῆρες δ᾽ ἀνὰ δώματ᾽ ἴσαν θείου ὀδυσῆος.
Τηλέμαχος δ᾽ ἀπάνευθεν ἰὼν ἐπὶ θῖνα θαλάσσης,
Χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὔχετ᾽ Αθήνῃ.
Κλῦθί μοι ὁ χθιζὸς θεὸς ἤλυθες ἡμέτερον δῶ,
Καὶ μ᾽ ἐν νηῒ κέλευσας ἐπ᾽ ἠεροειδέα πόντον
Νόστον πευσόμενον πατρὸς δὴν οἰχομένοιο,

Ερχεσθαι· τὰ δὲ πάντα διατρίβουσιν ἀχαιοὶ,
Μνηστῆρες δὲ μάλιστα, κακῶς ὑπερηνορέοντες.
Ως ἔφατ' εὐχόμενος· σχεδόθεν δέ οἱ ἦλθεν ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδὴν,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Τηλέμαχ', οὐδ' ὄπιθεν κακὸς ἔσσεαι, οὐδ' ἀνοήμων·
Εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
Οἷος ἐκεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε,
Οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται, οὐδ' ἀτέλεστος·
Εἰ δ' οὐ κείνου γ' ἐσσὶ γόνος καὶ πηνελοπείης,
Οὔ σ' ἔτ' ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾷς.
Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται·
Οἱ πλέονες κακίους· παῦροι δέ τε πατρὸς ἀρείους·
Αλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι, οὐδ' ἀνοήμων,
Οὐδέ σε πάγχυ γε μῆτις ὀδυσσῆος προλέλοιπεν,

Ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
Τῷ νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
Ἀφραδέων, ἐπεὶ οὔτι νοήμονες, οὐδὲ δίκαιοι·
Οὐδέ τι ἴσασιν θάνατον, καὶ κῆρα μέλαιναν,
Ὅς δή σφιν σχεδόν ἐστιν ἐπ᾽ ἤματι πάντας ὀλέσθαι.
Σοὶ δ᾽ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς·
Τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
Ὅς τοι νῆα θοὴν στελέω, καὶ ἅμ᾽ ἕψομαι αὐτός.
Ἀλλὰ σὺ μὲν πρὸς δώματ᾽ ἰὼν μνηστῆρσιν ὁμίλει,
Ὅπλισσόν τ᾽ ἤϊα, καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
Οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα μυελὸν ἀνδρῶν,
Δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ᾽ ἀνὰ δῆμον ἑταίρους
Αἶψ᾽ ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
Πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέαι ἠδὲ παλαιαί·
Τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥτις ἀρίστη·

Ωκα δ' ἐφοπλίσαντες ἐνήσομεν εὐρέϊ πόντῳ.
Ως ἔφατ' ἀθηναίη κούρη διός. οὐδ' ἄρ ἔτι δὴν
Τηλέμαχος παρέμιμνεν, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
Βῆ δ' ἴμεναι πρὸς δῶμα, φίλον τετιημένος ἦτορ·
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισιν
Αἶγας ἀνιεμένους, σιάλους θ' εὕοντας ἐν αὐλῇ.
Αντίνοος δ' ἰθὺς γελάσας κίε τηλεμάχοιο,
Εν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, μήτι τοι ἄλλο
Εν στήθεσι κακὸν μελέτω ἔργον τε ἔπος τε,
Αλλὰ μάλ' ἐσθιέμεν καὶ πινέμεν, ὡς τοπάρος περ.
Ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν ἀχαιοὶ,
Νῆα καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
Ες πύλον ἠγαθέην μετ' ἀγαυοῦ πατρὸς ἀκουήν.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὖδα,

Ἀντίνο', οὔπως ἐστὶν ὑπερφιάλοισι μεθ' ὑμῖν
Δαίνυσθαί τ' ἀέκοντα, καὶ εὐφραίνεσθαι ἕκηλον.
Ἦ οὐχ ἅλις ὡς τοπάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
Κτήματ' ἐμὰ μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα;
Νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, καὶ ἄλλων μῦθον ἀκούων
Πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμὸς,
Πειρήσω ὥς κ' ὕμμι κακὰς ἐπὶ κῆρας ἰήλω,
Ἠὲ πύλον δ' ἐλθὼν, ἢ αὐτοῦ τῷδ' ἐνὶ δήμῳ.
(Εἶμι μὲν, οὐδ' ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω)
Ἔμπορος. οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων
Γίνομαι, ὡς νύ που ὕμμιν ἐείσατο κέρδιον εἶναι.
  Ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο
Ῥεῖα. μνηστῆρες δὲ δόμον κάτα δαῖτα πένοντο,
Οἱ δ' ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσιν,
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων.

Ἦ μάλα τηλέμαχος φόνον ἡμῖν μερμηρίζει.
Ἤ τινας ἐκ πύλου ἄξει ἀμύντορας ἠμαθόεντος,
Ἢ ὅγε καὶ σπάρτηθεν· ἐπεὶ νύ περ ἵεται αἰνῶς.
Ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει πίειραν ἄρουραν
Ἐλθεῖν, ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ,
Ἐν δὲ βάλῃ κρητῆρι, καὶ ἡμέας πάντας ὀλέσσῃ.

Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων,
Τίς δ' οἶδ' εἴ κε αὐτὸς ἰὼν κοίλης ἐπὶ νηὸς,
Τῆλε φίλων ἀπόληται, ἀλώμενος ὥς περ ὀδυσσεύς;
Οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον ἄμμι.
Κτήματα γάρ κεν πάντα δασαίμεθα, οἰκία δ' αὖτε
Τούτου μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅς τις ὀπυίοι.

Ὡς φάτ'. ὁ δ' ὑψόροφον θάλαμον κατεβήσατο πατρὸς
Εὐρὺν ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς ἔκειτο.
Ἐσθής τ' ἐν χηλοῖσιν, ἅλις τ' εὐῶδες ἔλαιον.

Εν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο
Εστασαν, ἄκρητον θεῖον ποτὸν ἐντὸς ἔχοντες,
Εξείης ποτὶ τοῖχον ἀρηρότες, εἴποτ' ὀδυσσεὺς
Οἴκαδε νοστήσειε, καὶ ἄλγεα πολλὰ μογήσας.
Κληϊσταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι,
Δικλίδες· ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ
Εσκεν ἣ πάντ' ἐφύλασσε νόου πολυϊδρείῃσιν,
Εὐρύκλει', ὦπος θυγάτηρ πεισηνορίδαο·
Τὴν τότε τηλέμαχος προσέφη θάλαμόνδε καλέσσας.
Μαῖ', ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον
Ηδὺν, ὅτις μετὰ τὸν λαρώτατος ὃν σὺ φυλάσσεις,
Κεῖνον ὀϊομένη τὸν κάμμορον, εἴποθεν ἔλθοι
Διογενὴς ὀδυσεὺς, θάνατον καὶ κῆρας ἀλύξας.
Δώδεκα δ' ἔμπλησον, καὶ πώμασιν ἄρσον ἅπαντας
Εν δέ μοι ἄλφιτα χεῦον ἐϋρραφέεσσι δοροῖσιν·

Εἴκοσι δ' ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς.
Αὐτὴ δ' οἴη ἴσθι· τὰ δ' ἀθρόα πάντα τετύχθω.
Ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ
Μήτηρ εἰς ὑπερῷ' ἀναβῇ, κοίτου τε μέδηται,
Εἶμι γὰρ ἐς σπάρτην τε καὶ ἐς πύλον ἠμαθόεντα,
Νόστον πευσόμενος πατρὸς φίλου ἤν που ἀκούσω.

Ὣς φάτο. κώκυσεν δὲ φίλη τροφὸς εὐρύκλεια,
Καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα.

Τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τοῦτο νόημα
Ἔπλετο; πῇ δ' ἐθέλῃς ἰέναι πολλὴν ἐπὶ γαῖαν,
Μοῦνος ἐὼν ἀγαπητός; ὁ δ' ὤλετο τηλόθι πάτρης
Διογενὴς ὀδυσεὺς, ἀλλογνώτῳ ἐνὶ δήμῳ·
Οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράζονται ὀπίσω,
Ὥς κε δόλῳ φθίῃς, τάδε δ' αὐτοὶ πάντα δάσωνται.
Ἀλλὰ μὲν αὖθ' ἐπὶ σοῖσι καθήμενος· οὐδέ τι σε χρὴ

Πόντον ἐπ' ἀτρύγετον κακὰ πάσχειν, οὐδ' ἀλάλησθαι.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Θάρσει μαῖ'· ἐπεὶ οὔτι ἄνευ θεοῦ ἥδε γε βουλή·
Ἀλλ' ὄμοσον μὴ μητρὶ φίλῃ τάδε μυθήσασθαι
Πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,
Ἢ αὐτὴν ποθέσαι, ἀφορμηθέντος ἀκοῦσαι·
Ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ.

Ὣς ἄρ' ἔφη, γρηῢς δὲ θεῶν μέγαν ὅρκον ἀπώμνυ.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
Αὐτίκ' ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσεν,
Ἐν δέ οἱ ἄλφιτα χεῦεν ἐϋρραφέεσσι δοροῖσιν.
Τηλέμαχος δ' ἐς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει.
Ἔνθ' αὖ ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλεμάχῳ δ' εἰκυῖα κατὰ πτόλιν ᾤχετο πάντῃ,
Καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον,

Εσπερίους δ' ἐπὶ νῆα θοὴν ἀγέρεσθαι ἀνώγει.
Ηδ' αὖτε Φρονίοιο νοήμονα φαίδιμον υἱὸν
ἤτεε νῆα θοήν· ὁ δέ οἱ πρόφρων ὑπέδεκτο.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Καὶ τότε νῆα θοὴν ἅλαδ' εἴρυσε, πάντα δ' ἐν αὐτῇ
Οπλ' ἐτίθει τά τε νῆες ἐΰσσελμοι φορέουσιν.
Στῆσε δ' ἐπ' ἐσχατιῆς λιμένος· περὶ δ' ἐσθλοὶ ἑταῖροι
Αθρόοι ἠγερέθοντο· θεὰ δ' ὤτρυνεν ἕκαστον.
Ενθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις ἀθήνη,
Βῆ δ' ἴμεναι πρὸς δώματ' ὀδυσσῆος θείοιο·
Ενθα μνηστήρεσσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευεν,
Πλάζε δὲ πίνοντας· χειρῶν δ' ἔκβαλλε κύπελλα.
Οἱ δ' εὕδειν ὤρνυντο κατὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
Εἵατ', ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.
Αὐτὰρ τηλέμαχον προσέφη γλαυκῶπις ἀθήνη,

Ἐκ προκαλεσσαμένη μεγάρων εὐναιεταόντων,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
 Τηλέμαχ', ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι
Εἵατ' ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν,
Ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.
 Ὣς ἄρα φωνήσασ' ἡγήσατο παλλὰς ἀθήνη
Καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Εὗρον ἔπειτ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους·
 Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς τηλεμάχοιο,
Δεῦτε φίλοι, ἤια φερώμεθα· πάντα γὰρ ἤδη
Ἀθρό' ἐνὶ μεγάρῳ· μήτηρ δ' ἐμὴ οὔτι πέπυσται,
Οὐδ' ἄλλαι δμωαὶ μία δ' οἴη μῦθον ἄκουσεν.
 Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο.
Οἱ δ' ἅμα πάντα φέροντες, ἐϋσσέλμῳ ἐπὶ νηῒ

Κάτθε-

Κάτθεσαν ὡς ἐκέλευσεν ὀδυσσῆος φίλος υἱός.
Αν δ' ἄρα τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' ἀθήνη.
Νηὶ δ' ἐνὶ πρύμνῃ κατ' ἄρ' ἕζετ'· ἄγχι δ' ἄρ' αὐτῆς
Εζετ' τηλέμαχος. τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Αν δὲ καὶ αὐτοὶ βάντες, ἐπὶ κληῖσι κάθιζον·
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις ἀθήνη,
Ακραῆ ζέφυρον, κελάδοντ' ἐπὶ οἴνοπα πόντον.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Οπλων ἅπτεσθαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν,
Ιστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραντες· κατὰ δὲ προτόνοισιν ἔδησαν,
Ελκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσιν.
Επλησεν δ' ἄνεμος μέσον ἱστίον· ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης·
Ηδ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.

Δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν·
Στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο.
Λεῖβον δ' ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν.
Ἐκ πάντων δὲ μάλιστα διὸς γλαυκώπιδι κούρῃ,
Παννυχίη μέν ῥ' ἥγε καὶ ἠῶ πεῖρε κέλευθον.

ΤΕΛΟΣ.

# ΤΗΣ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Η γάμμα ῥαψῳδία.

Γάμμ᾽, ἀπὸ νέστωρ δέκτο, συνῶρτο δ᾽ ὃς ἦϊ θεὰ δ᾽ ἔπλη.

Ηέλιος δ᾽ ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
Οὐρανὸν ἐς πολύχαλκον, ἵν᾽ ἀθανάτοισι φαείνῃ,
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
Οἱ δὲ πύλον, νηλῆος ἐϋκτίμενον πτολίεθρον,
Ιξον· τοὶ δ᾽ ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον.
Ταύρους παμμέλανας Ενοσίχθονι κυανοχαίτῃ.
Εννέα δ᾽ ἕδραι ἔσαν, πεντηκόσιοι δ᾽ ἐν ἑκάστῃ
Εἵατο, καὶ προὔχοντο ἑκάστοθι ἐννέα ταύρους.
Ενθ᾽ οἱ σπλάγχν᾽ ἐπάσαντο, θεῷ δ᾽ ἐπὶ μηρία καῖον,
Οἱ δ᾽ ἰθὺς κατάγοντο, ἰδ᾽ ἱστία νηὸς ἐΐσης

Στεῖ-

Στεῖλαν ἀείραντες, τὴν δ᾽ ὥρμισαν· ἐκ δ᾽ ἔβαν αὐτοί.
Ἐκ δ᾽ ἄρα τηλέμαχος νηὸς βαῖν᾽· ἦρχε δ᾽ ἀθήνη·
Τὸν προτέρη προσέειπε θεὰ γλαυκῶπις ἀθήνη.
Τηλέμαχ᾽, οὐ μέν σε χρὴ ἔτ᾽ αἰδοῦς οὐδ᾽ ἠβαιόν·
Τοὔνεκα γὰρ καὶ πόντον ἐπέπλως ὄφρα πύθηαι
Πατρὸς, ὅπου κύθε γαῖα, καὶ ὅντινα πότμον ἐπέσπεν.
Ἀλλ᾽ ἄγε νῦν ἰθὺς κίε νέστορος ἱπποδάμοιο·
Εἴδομεν ἥντινα μῆτιν ἐνὶ στήθεσσι κέκευθε·
Λίσσεσθαι δέ μιν αὐτὸν, ὅπως νημερτέα εἴπῃ.
Ψεῦδος δ᾽ οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί.
Τὴν δ᾽ αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μέντορ, πῶς τ᾽ ἄρ᾽ ἴω, πῶς τ᾽ ἄρ προσπτύξομαι αὐτόν;
Οὐδέ τι πω μύθοισι πεπείρημαι πυκινοῖσιν·
Αἰδὼς δ᾽ αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι.
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις ἀθήνη,

Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
Ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται· οὐ γὰρ ὀΐω
Οὔ σε θεῶν ἀέκητι γενέσθαι τετραφέμεν τε.
Ὡς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Ἷξον δ' ἐς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας.
Ἔνθ' ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν· ἀμφὶ δ' ἑταῖροι
Δαῖτ' ἐντυνόμενοι, κρέα ὤπτων, ἄλλα δ' ἔπειρον.
Οἱ δ' ὡς οὖν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,
Χερσίν τ' ἠσπάζοντο, καὶ ἑδριάασθαι ἄνωγον.
Πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν
Ἀμφοτέρων ἕλε χεῖρα, καὶ ἵδρυσεν παρὰ δαιτὶ
Κώεσιν ἐν μαλακοῖσιν, ἐπὶ ψαμάθοις ἁλίῃσι,
Πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πατέρι ᾧ.
Δῶκε δ' ἄρα σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευε

 Χρυσέῳ

Χρυσέῳ ἐν δέπαϊ δειδισκόμενος προσηύδα·
Παλλάδ' Ἀθηναίην κούρην διὸς αἰγιόχοιο.
Εὔχεο νῦν ὦ ξεῖνε ποσειδάωνι ἄνακτι·
Τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.
Αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξαι ἣ θέμις ἐστὶ,
Δὸς καὶ τούτῳ ἔπειτα δέπας μελιηδέος οἴνου
Σπεῖσαι ἐπεὶ καὶ τοῦτον ὀΐομαι ἀθανάτοισιν
Εὔχεσθαι, πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι.
Ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ' ἐμοὶ αὐτῷ·
Τοὔνεκά τοι προτέρῳ δώσω χρύσειον ἄλεισον.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει δέπας ἡδέος οἴνου,
Χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ,
Οὕνεκα οἱ προτέρῃ δῶκε χρύσειον ἄλεισον·
Αὐτίκα δ' εὔχετο πολλὰ ποσειδάωνι ἄνακτι.
Κλῦθι ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς

Ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε,
Αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβὴν,
Σύμπασι πυλίοισιν, ἀγακλειτῆς ἑκατόμβης.
Δὸς δ' ἔτι τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι,
Οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηῒ μελαίνῃ.
  Ὣς ἄρ' ἔπειτ' ἠρᾶτο, καὶ αὐτὴ πάντα τελεύτα,
Δῶκε δὲ τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον.
Ὣς δ' αὔτως ἠρᾶτ' ὀδυσσῆος φίλος υἱός,
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Μοίρας δασσάμενοι, δαίνυντ' ἐρικυδέα δαῖτα.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς ἄρα μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ.
  Νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι
Ξείνους οἵτινες εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.

Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
Ἤ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε
Οἷά τε ληϊστῆρες ὑπεὶρ ἅλα; τοί γ' ἀλόωνται
Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Θαρσήσας. αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
Θῆχ', ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο,
Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.
Ὦ Νέστωρ νηληϊάδη, μέγα κῦδος ἀχαιῶν,
Εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω·
Ἡμεῖς ἐξ ἰθάκης ὑπονηΐου εἰλήλουθμεν,
Πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος, ἣν ἀγορεύσω.
Πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι ἤν που ἀκούσω,
Δίου ὀδυσσῆος ταλασίφρονος· ὅν ποτέ φασιν
Σὺν σοὶ μαρνάμενον τρώων πόλιν ἐξαλαπάξαι

Ἄλλους

Ἄλλους μὲν γὰρ πάντας ὅσοι Τρωσὶν πολέμιζον,
Πευθόμεθ' ἧχι ἕκαστος ἀπώλετο λυγρῷ ὀλέθρῳ·
Κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.
Οὐ γάρ τις δύναται σάφα εἰπέμεν ὁππόθ' ὄλωλεν.
Εἴθ' ὅγ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
Εἴτε καὶ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.
Τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴκε θέλῃσθα
Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
Πλαζομένου. περὶ γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
Μηδέ τι μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων,
Ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς·
Λίσσομαι, εἴποτέ τοι τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς
Η ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
Δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,

Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἔνισπε.

Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ,
Ω φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος ἣν ἐν ἐκείνῳ
Δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες ἀχαιῶν,
Η μὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
Πλαζόμενοι κατὰ ληΐδ' ὅπῃ ἄρξειεν Αχιλλεύς,
Ηδ' ὅσα καὶ περὶ ἄστυ μέγα πριάμοιο ἄνακτος
Μαρνάμεθ', ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσοι ἄριστοι
Ενθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Αχιλλεύς,
Ενθα δὲ πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος.
Ενθα δ' ἐμὸς φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀμύμων
Αντίλοχος, περὶ μὲν θείειν ταχὺς, ἠδὲ μαχητής.
Αλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά. τίς κεν ἐκεῖνα
Πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
Οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-621128-p0072-8

Ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι ἀχαιοί.
Πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
Εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
Παντοίοισι δόλοισι· μόγις δ᾽ ἐτέλεσσε κρονίων,
Ἔνθ᾽ οὔτις ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
Ἤθελ᾽, ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος ὀδυσσεὺς
Παντοιόισι δόλοισι, πατὴρ τεός· εἰ ἐτεόν γε
Κείνου ἔκγονός ἐσσι· σέβας μ᾽ ἔχει εἰσορόωντα·
Ἦτοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
Ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
Ἔνθ᾽ ἤτοι εἴως μὲν ἐγὼ καὶ δῖος ὀδυσσεὺς
Οὔτέ ποτ᾽ εἰν ἀγορῇ δίχ᾽ ἐβάζομεν, οὔτ᾽ ἐνὶ βουλῇ,
Ἀλλ᾽ ἕνα θυμὸν ἔχοντε, νόῳ καὶ ἐπίφρονι βουλῇ
Φραζόμεθ᾽ ἀργείοισιν ὅπως ὄχ᾽ ἄριστα γένηται.
Αὐτὰρ ἐπεὶ πριάμοιο πόλιν διεπέρσαμεν αἰπὺν,

Βῆμεν δ' ἐν νήεσσι· θεὸς δ' ἐκέδασσεν ἀχαιούς·
Καὶ τότε δὴ ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις· ἐπεὶ οὔτι νοήμονες οὐδὲ δίκαιοι
Πάντες ἔσαν· τῷ σφέων πολέες κακὸν οἶτον ἐπέσπον,
Μήνιος ἐξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης,
Ἥτ' ἔριν ἀτρείδῃσι μετ' ἀμφοτέροισιν ἔθηκεν.
Τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας ἀχαιοὺς
Μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα.
(Οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες ἀχαιῶν)
Μῦθον μυθείσθην τοῦ εἵνεκα λαὸν ἄγειρεν.
Ἐνθ' ἤτοι μενέλαος ἀνώγει πάντας ἀχαιοὺς
Νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης.
Οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε· βούλετο γάρ ῥα
Λαὸν ἐρυκακέειν, ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
Ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο.

Νήπιος,

Νήπιος, οὐδὲ τὸ ᾔδη ὃ οὐ πείσεσθαι ἔμελλεν.
Οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.
Ως τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
Εστασαν. οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες ἀχαιοὶ
Ηχῇ θεσπεσίῃ· δίχα δέ σφισιν ἥνδανε βουλή,
Νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
Αλλήλοις. (ἐπὶ γὰρ ζεὺς ἤρτυε πῆμα κακοῖο)
Ηῶθεν δ' οἱ μὲν νέας εἵλκομεν εἰς ἅλα δῖαν,
Κτήματά τ' ἐντιθέμεσθα, βαθυζώνους τε γυναῖκας·
Ημίσεες δ' ἄρα λαοὶ ἐρητύοντο μένοντες
Αὖθι παρ' ἀτρείδῃ Αγαμέμνονι ποιμένι λαῶν·
Ημίσεες δ' ἀναβάντες ἐλαύνομεν. αἱ δὲ μάλ' ὦκα
Επλεον· ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον·
Ες τένεδον δ' ἐλθόντες, ἐρέξαμεν ἱρὰ θεοῖσιν,
Οἴκαδε ἱέμενοι. ζεὺς δ' οὔπω μήδετο νόστον,

Σχέτλιος, ὅς ῥ' ἔριν ὦρσε κακὴν ἐπὶ δεύτερον αὖτις.
Οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας,
Αμφ' ὀδυσῆα ἄνακτα δαΐφρονα ποικιλομήτην,
Αὖτις ἐπ' ἀτρείδῃ Αγαμέμνονι ἦρα φέροντες.
Αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν αἵ μοι ἕποντο,
Φεῦγον, ἐπεὶ γίνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων.
Φεῦγε δὲ τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους.
Οψὲ δὲ δὴ μετὰ νῶϊ κίε ξανθὸς μενέλαος,
Εν Λέσβῳ δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας.
Η καθύπερθε χίοιο νεοίμεθα παιπαλοέσσης,
Νήσου ἐπὶ ψυρίης, αὐτὴν ἐπ' ἀριστέρ' ἔχοντες,
Η ὑπένερθε χίοιο, παρ' ἠνεμόεντα μίμαντα.
ᾐτέομεν δὲ θεὸν φῆναι τέρας. αὐτὰρ ὅγ' ἡμῖν
Δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
Τέμνειν, ὄφρα τάχιστα ὑπὲκ κακότητα φύγοιμεν.

Ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι. αἱ δὲ μάλ' ὦκα
Ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ γεραιστὸν
Ἐννύχιαι κατάγοντο. ποσειδάωνι δὲ ταύρων
Πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες
Τέτρατον ἦμαρ ἔην ὅτ' ἐν ἄργεϊ νῆας ἐΐσας
Τυδείδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
Ἔστασαν. αὐτὰρ ἔγω γε πύλον δ' ἔχον· οὐδέ ποτ' ἔσβη
Οὖρος, ἐπειδὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
Ὣς ἦλθον φίλε τέκνον ἀπευθής· οὐδέ τι οἶδα
Κείνων οἵ τ' ἐσάωθεν ἀχαιῶν οἵ τ' ἀπόλοντο.
Ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισι
Πεύθομαι, ἣ θέμις ἐστὶ δαήσεαι, οὐδέ σε κεύσω.
Εὖ μὲν μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς·
Εὖ δὲ φιλοκτήτην ποιάντιον ἀγλαὸν υἱόν.

Παν-

Πάντας δ' Ἰδομενεὺς κρήτην εἰσήγαγ' ἑταίρους
Οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔτιν' ἀπηύρα.
Ἀτρείδην δὲ καὶ αὐτοὶ ἀκούετε νόσφιν ἐόντες,
Ὥς τ' ἦλθ', ὥς Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
Ἀλλ' ἤτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισεν,
Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
Ἀνδρός· ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅς οἱ πατέρα κλυτὸν ἔκτα.
Καὶ σὺ φίλος (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ Νέστωρ νηληϊάδη, μέγα κῦδος ἀχαιῶν,
Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καὶ οἱ ἀχαιοὶ
Οἴσουσι κλέος εὐρὺ, καὶ ἐσσομένοισιν ἀοιδήν.
Αἲ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν παραθεῖεν,

Τίσα-

Τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
Οἵτέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Αλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον
Πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης.
Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ,
Ω φίλ', ἐπειδὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
Φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
Εν μεγάροις ἀέκητι σέθεν κακὰ μηχανάασθαι.
Εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
Εχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ
Τίς δ' οἶδ' εἴ κε ποτέ σφι βίας ἀποτίσεται ἐλθὼν
Η ὅ γε μοῦνος ἐών, ἢ καὶ σύμπαντες ἀχαιοί;
Εἰ γάρ σ' ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Αθήνη
Ως τότ' ὀδυσσῆος περικήδετο κυδαλίμοιο
Δήμῳ ἐνὶ τρώων, ὅτι πάσχομεν ἄλγε' ἀχαιοί.

Οὔ

Οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
Ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη.
Εἴ σ' οὕτως γ' ἐθέλοι φιλέειν, κήδοιτό τε θυμῷ,
Τῷ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ γέρον, οὔπω τοῦτ' ἔπος τελέεσθαι ὀΐω.
Λίην γὰρ μέγα εἶπες ἄγη μ' ἔχει· οὐδ' ἂν ἔμοιγε
Ἐλπομένῳ τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων:
Ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι·
Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας,
Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
Ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
Ὤλεθ' ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.

Ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο.
Τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μέντος, μηκέτι ταῦτα λεγοίμεθα, κηδόμενοί περ.
Κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
Φράσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν,
Νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι.
Νέστορ' ἐπεὶ περίοιδε δίκας ἠδὲ φρόνιν ἄλλων.
Τρὶς γὰρ δή μιν φασὶν ἀνάξασθαι γένε' ἀνδρῶν·
Ὡς τέ μοι ἀθανάτοις ἰνδάλλεται εἰσοράασθαι.
Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἔνισπε,
Πῶς ἔθαν' ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων;
Ποῦ μενέλαος ἔην; τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις; ἐπεὶ κτάνε πολλὸν ἀρείω.

Η οὐκ ἄργεος ἦεν ἀχαιϊκοῦ, ἀλλά πῃ ἄλλῃ
Πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δὲ, θαρσήσας κατέπεφνε;
Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ,
Τοιγὰρ ἐγώ τοι τέκνον ἀληθέα πάντ' ἀγορεύσω.
Η τοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι ὥς κεν ἐτύχθη·
Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ατρεΐδης τροίηθεν ἰὼν ξανθὸς μενέλαος,
Τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
Αλλ' ἄρα τόνγε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
Κείμενον ἐν πεδίῳ ἑκὰς ἄργεος. οὐδέ κε τίς μιν
Κλαῦσεν ἀχαιϊάδων. μάλα γὰρ μέγα μήσατο ἔργον·
Ημεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
Ημεθ'· ὁ δ' εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο
Πόλλ', ἀγαμεμνονέην ἄλοχον θέλγεσκ' ἐπέεσσιν,
Ηδ' ἤτοι τοπρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς

Δῖα κλυταιμνήστρη (φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι·
Πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνὴρ ᾧ πολλ' ἐπέτελλεν
Ατρείδης τροίηνδε κιὼν, εἴρυσθαι ἄκοιτιν)
Αλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
Δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην,
Κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι·
Τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
Πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς.
Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε, χρυσόν τε
Εκτελέσας μέγα ἔργον, ὃ οὔποτε ἔλπετο θυμῷ.
Ημεῖς μὲν γὰρ ἅμα πλέομεν τροίηθεν ἰόντες
Ατρείδης καὶ ἐγώ, φίλα εἰδότες ἀλλήλοισιν·
Αλλ' ὅτε σούνιον ἱρὸν ἀφικόμεθ' ἄκρον Αθηνῶν,
Ενθα κυβερνήτην μενελάου φοῖβος Απόλλων
Οἷς ἀγανοῖσι βελέεσιν ἐποιχόμενος κατέπεφνε,

Πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
Φρόντιν ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων
Νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
Ως ὃ μὲν ἔνθα κατέχετ', ἐπειγόμενός περ ὁδοῖο,
Οφρ' ἕταρον θάπτοι, καὶ ἐπὶ κτέρεα κτερίσειεν.
Αλλ' ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἴνοπα πόντον
Εν νηυσὶ γλαφυρῇσι, μαλειάων ὄρος αἰπὺ
Ιξε θέων, τότε δὴ συγερὴν ὁδὸν εὐρύοπα ζεὺς
Εφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε,
Κύματά τε τροφόεντα, πελώρια, ἶσα ὄρεσσιν.
Ενθα διατμήξας, τὰς μὲν κρήτῃ ἐπέλασσεν,
Ηχι κύδωνες ἔναιον, ἰαρδάνου ἀμφὶ ῥέεθρα.
Εστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
Εσχατιῇ γόρτυνος, ἐν ἠεροειδέϊ πόντῳ,
Ενθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ

Ἐς Φαιστὸν, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.
Αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, σπουδῇ δ' ἤλυξαν ὄλεθρον
Ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
Κύματ'· ἀτὰρ τὰς πέντε νέας κυανοπρωρείους
Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
Ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων,
Ἠλᾶτο ξὺν νηυσὶν ἐπ' ἀλλοθρόους ἀνθρώπους.
Τόφρα δὲ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ
Κτείνας ἀτρείδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.
Ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο μυκήνης.
Τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἤλυθε δῖος Ὀρέστης
Ἂψ ἀπ' ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα·
Αἴγισθον δολόμητιν, ὅς οἱ πατέρα κλυτὸν ἔκτα.
Ἤτοι ὃ τὸν κτείνας δαίνυ τάφον ἀργείοισιν
Μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο.

Αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
Καὶ σὺ φίλος μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
Κτήματά τε προλιπὼν, ἄνδρας τ' ἐν σοῖσι δόμοισι
Οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσι
Κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
Αλλ' ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
Ελθεῖν. κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν
Εκ τῶν ἀνθρώπων, ὅθεν οὐκ ἔλποιτό γε θυμῷ
Ελθέμεν, ὅντινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
Ες πέλαγος μέγα τοῖον, ὅθεν τε περ οὐδ' οἰωνοὶ
Αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε.
Αλλ' ἴθι νῦν σὺν νηΐ τε σῇ καὶ σοῖς ἑτάροισιν.
Εἰ δ' ἐθέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
Πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται

Ες λα-

Ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
Λίσσεσθαι δέ μιν αὐτὸν ἵνα νημερτὲς ἐνίσπῃ.
Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν.
Ὣς ἔφατ'. ἠέλιος δ' ἂρ ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε.
Τοῖσι δὲ καὶ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Ὦ γέρον, ἤτοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
Ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
Ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισι
Σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
Ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον· οὐδὲ ἔοικε
Δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.
Ἦ ῥα Διὸς θυγάτηρ, τοὶ δ' ἔκλυον αὐδησάσης.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι.

Γλώσσας δ' ἐν πυρὶ βάλλον, ἀνιστάμενοι δ' ἐπέλειβον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμὸς,
Δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
Ἄμφω ἱέσθην κοίλην ἐπὶ νῆα νέεσθαι.
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσι·
Ζεὺς τόγ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε,
Ὥς τέ τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ,
Ὧ οὔτε χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκῳ·
Οὔτ' αὐτῷ μαλακῶς, οὔτε ξείνοισιν ἐνεύδειν,
Αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά.
Οὐ θὴν δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
Νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἔγωγε
Ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται,
Ξείνους ξεινίζειν, ὅς τις κ' ἐμὰ δώμαθ' ἵκηται.

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Εὖ δὴ ταῦτά γ' ἔφησθα γέρον φίλε· σοὶ δὲ ἔοικε
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτω.
Ἀλλ' οὗτος μὲν νῦν σοὶ ἅμ' ἕψεται, ὄφρα κεν εὕδῃ
Σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
Εἶμ' ἵνα θαρσύνω θ' ἑτάρους, εἴπω τε ἕκαστα.
Οἶος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι,
Οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται
Πάντες ὁμηλικίῃ μεγαθύμου Τηλεμάχοιο·
Ἔνθά κε λεξαίμην κοίλῃ παρὰ νηῒ μελαίνῃ
Νῦν ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
Εἶμ', ἔνθα χρεῖός μοι ὀφέλλεται, οὔ τι νέον γε
Οὐδ' ὀλίγον. σὺ δὲ τοῦτον (ἐπεὶ τεὸν ἵκετο δῶμα)
Πέμψον σὺν δίφρῳ τε καὶ υἱεῖ· δὸς δέ οἱ ἵππους
Οἵ τοι ἐλαφρότατοι θείειν, καὶ κάρτος ἄριστοι.

Ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
Φήνῃ εἰδομένη. θάμβος δ' ἕλε πάντας ἰδόντας·
Θαύμαζεν δ' ὁ γεραιὸς ὅπως ἴδεν ὀφθαλμοῖσιν.
Τηλεμάχου δ' ἕλε χεῖρα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
Εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
Οὐ μὲν γάρ τις ὅδ' ἄλλος ὀλύμπια δώματ' ἐχόντων
Ἀλλὰ διὸς θυγάτηρ ἀγελείη τριτογένεια,
Ἥτοι καὶ πατὲρ ἐσθλὸν ἐν ἀργείοισι ἐτίμα.
Ἀλλὰ ἄνασσ' ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλὸν,
Αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτι,
Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν, εὐρυμέτωπον,
Ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
Τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασι περιχεύας.
Ὣς ἔφατ' εὐχόμενος. τοῦ δ' ἔκλυε παλλὰς Ἀθήνη.

Τοῖσιν

Τοῖσιν δ' ἡγεμόνευε γερήνιος ἱππότα Νέστωρ,
υἱάσι καὶ γαμβροῖσιν ἑὰ πρὸς δώματα καλά.
Ἀλλ' ὅτε δώμαθ' ἵκοντο ἀγακλυτὰ τοῖο ἄνακτος,
Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.
Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
Οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
Ὤϊξε ταμίη, καὶ ἀπὸ κρήδεμνον ἔλυσε.
Τοῦ ὁ γέρων κρητῆρα κεράσσατο· πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀποσπένδων, κούρῃ Διὸς αἰγιόχοιο.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
Τὸν δ' αὐτοῦ κοίμησε γερήνιος ἱππότα Νέστωρ
Τηλέμαχον φίλον υἱὸν Ὀδυσσῆος θείοιο,
Τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Πὰρ δ' ἄρ' ἐϋμμελίην πεισίστρατον ὄρχαμον ἀνδρῶν,

Ὡς οἱ ἔτ᾽ ἠΐθεος παίδων ἦν ἐν μεγάροισιν·
Αὐτὸς δ᾽ αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
Τῷ δ᾽ ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
Ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ὤρνυτ᾽ ἄρ᾽ ἐξ εὐνῆφι γερήνιος ἱππότα Νέστωρ.
Ἐκ δ᾽ ἐλθὼν, κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ ξεστοῖσι λίθοισιν,
Οἵ οἱ ἔσαν προπάροιθε θυράων ὑψηλάων,
Λευκοὶ, ἀποστίλβοντες ἀλείφατος· οἷς ἐπὶ μὲν πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀτάλαντος·
Ἀλλ᾽ ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδός δε βεβήκει,
Νέστωρ αὖ τότ᾽ ἔφιζε γερήνιος, οὖρος ἀχαιῶν,
Σκῆπτρον ἔχων. περὶ δ᾽ υἷες ἀολλέες ἠγερέθοντο,
Ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε, στρατιός τε,
Περσεύς τ᾽, Ἄρητός τε, καὶ ἀντίθεος Θρασυμήδης.
Τοῖσι δ᾽ ἔπειθ᾽ ἕκτος πεισίστρατος ἤλυθεν ἥρως·

Παρ

Πὰρ δ' ἄρα τηλέμαχον θεοείκελον εἷσαν ἄγοντες.
Τοῖσι δὲ μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ,
Καρπαλίμως μοι τέκνα φίλα κρηήνατ' ἐέλδωρ,
Οφρ' ἤτοι πρώτιστα θεῶν ἱλάσσομ' Αθήνην
Ημοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν.
Αλλά γ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
Ελθῃσιν, ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ.
Εἷς δ' ἐπὶ τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
Πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους·
Εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
Ελθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ.
Οἱ δ' ἄλλοι μένετ' αὐτοῦ ἀολλέες, εἴπατε δ' εἴσω
Δμωῇσιν κατὰ δώματ' ἀγακλυτὰ δαῖτα πένεσθαι,
Ἕδρας τε ξύλα τ' ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ.

Ως ἔφατ᾽. οἱ δ᾽ ἄρα πάντες ἐποίπνυον· ἦλθε μὲν
Εκ πεδίου, ἦλθον δὲ θοῆς παρὰ νηὸς ἐΐσης (ἄρ βοῦς
Τηλεμάχου ἕταροι μεγαλήτορος· ἦλθε δὲ χαλκεὺς,
Οπλ᾽ ἐν χερσὶν ἔχων χαλκήϊα, πείρατα τέχνης,
Ακμονά τε, σφύραν τ᾽ εὐποίητόν τε πυράγρην,
Οἷσίν τε χρυσὸν εἰργάζετο. ἦλθε δ᾽ Αθήνη
Ιρῶν ἀντιόωσα. γέρων δ᾽ ἱππηλάτα Νέστωρ
Χρυσὸν ἔδωχ᾽· ὁ δ᾽ ἔπειτα βοὸς κέρασιν περίχευεν
Ασκήσας, ἵν᾽ ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα.
Βοῦν δ᾽ ἀγέτην κεράων Στρατίος καὶ δῖος Εχέφρων·
Χέρνιβα δέ σφ᾽ Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
Ηλυθεν ἐκ θαλάμοιο φέρων· ἑτέρῃ δ᾽ ἔχεν οὐλὰς
Εν κανέῳ. πέλεκυν δὲ μενεπτόλεμος Θρασυμήδης
Οξὺν ἔχων ἐν χειρὶ παρίστατο, βοῦν ἐπικόψων,
Περσεὺς δ᾽ ἀμνίον εἶχε· γέρων δ᾽ ἱππηλάτα Νέστωρ

Χέρνι-

χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλ-
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ οὐλοχύτας προβάλοντο, (λων
Αὐτίκα Νέστορος υἱὸς ὑπέρθυμος Θρασυμήδης
Ἤλασεν ἄγχι στάς· πέλεκυς δ' ἀπέκοψε τένοντας
Αὐχενίους, λῦσεν δὲ βοὸς μένος. αἱ δ' ὀλόλυξαν
Θυγατέρες τε νυοί τε, καὶ αἰδοίη παράκοιτις
Νέστορος εὐρυδίκη, πρέσβα κλυμένοιο θυγατρῶν.
Οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης
Ἔσχον· ἀτὰρ σφάξεν πεισίστρατος ὄρχαμος ἀνδρῶν.
Τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμός,
Αἶψ' ἄρα μιν διέχευαν. ἄφαρ δ' ἐκ μηρία τάμνον
Πάντα κατὰ μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες. ἐπ' αὐτῶν δ' ὠμοθέτησαν,
Καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' ἄθοπα οἶνον

Λεῖβε

Λεῖβε. νέοι δὲ παρ᾽ αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη, καὶ σπλάγχν᾽ ἐπάσαντο,
Μίστυλλόν τ᾽ ἄρα ἄλλα, καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
Ὤπτων δ᾽, ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες·
Τόφρα δὲ τηλέμαχον λοῦσεν καλὴ πολυκάστη,
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληϊάδαο.
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ᾽ ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα,
Ἐκ ῥ᾽ ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος.
Πὰρ δ᾽ ἄρα Νέστορ᾽ ἰὼν κατ᾽ ἄρ᾽ ἕζετο ποιμένι λαῶν.
Οἱ δ᾽ ἐπεὶ ὤπτησαν κρέ᾽ ὑπέρτερα, καὶ ἐρύσαντο,
Δαίνυνθ᾽ ἑζόμενοι. ἐπὶ δ᾽ ἀνέρες ἐσθλοὶ ὄροντο
Οἶνον ἐνοινοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσι δὲ μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ.

Παῖδες

Παῖδες ἐμοὶ, ἄγε τηλεμάχῳ καλλίτριχας ἵππους
Ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, ἵνα πρήσσησιν ὁδοῖο.
Ὡς ἔφαθ'. οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
Καρπαλίμως δ' ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
Ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν,
Ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες.
Ἂν δ' ἄρα τηλέμαχος περικαλλέα βήσετο δίφρον·
Πὰρ δ' ἄρα νεστορίδης πεισίστρατος ὄρχαμος ἀνδρῶν
Ἐς δίφρον τ' ἀνέβαινε, καὶ ἡνία λάζετο χερσί·
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην
Ἐς πεδίον, λιπέτην δὲ πύλου αἰπὺ πτολίεθρον.
Οἱ δὲ, πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Ἐς Φηρὰς δ' ἵκοντο, διοκλῆος ποτὶ δῶμα,
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.

Ἔνθα

Ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ἵππους τ' ἐζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἀέκοντε πετέσθην·
Ἷξον δ' ἐς πεδίον πυρηφόρον· ἔνθα δ' ἔπειτα
Ἦνον ὁδόν· τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.

FINIS
ΤΕΛΟΣ.

Ung III A 261

ULB Halle 3
003 147 029

VD 17 2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-621128-p0099-7

mones meos non servat.
nem quem audistis non est me
qui misit me patris. Hec lo
vobis. apud vos manen
tus autem spiritus sanctus quem mitte
in nomine meo. Ille vos do
et suggeret vobis omnia
dixero vobis. Pacem relinquo
bis. pacem meam do vob
quomodo mundus dat ego
Non turbetur cor vestrum. neque
Audistis quia ego dixi vo
do et venio ad vos. Si dilige
me gauderetis utique quia va
ad patrem quia pater maior
Et nunc dixi vobis priusquam
ut cum factum fuerit credatis.

MERI

ADIS

i Tres

Græcè & Lati- amen

olegomenis ame

ame

Dresseri.

Annumeror libris Christiani Stöckalii Numb. Sturig

amen

SIÆ. amen

ANNES Glück,

næi Voigt Bibliop.

N O

XXII.

Inches Centimetres B.I.G. Farbkarte #13 Blue Cyan Green Yellow Red Magenta White 3/Color Black

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-621128-p0101-0
DFG